χροιὴ γὰρ μελέων ἐρυθαίνετο· νισσομένης δὲ
καὶ ῥόδα λευκοχίτωνος ὑπὸ σφυρὰ λάμπετο κούρης,
πολλαὶ δ᾽ ἐκ μελέων Χάριτες ῥέον. οἱ δὲ παλαιοὶ
τρεῖς Χάριτας ψεύσαντο πεφυκέναι· εἷς δέ τις Ἡροῦς
ὀφθαλμὸς γελόων ἑκατὸν Χαρίτεσσι τεθήλει.
ἀτρεκέως ἱέρειαν ἐπάξιον εὕρατο Κύπρις.
ὣς ἡ μέν, περιπολλὸν ἀριστεύσασα γυναικῶν,
Κύπριδος ἀρήτειρα, νέη διεφαίνετο Κύπρις.
δύσατο δ᾽ ἠιθέων ἁπαλὰς φρένας· οὐδέ τις ἀνδρῶν
ἦεν, ὃς οὐ μενέαινεν ἔχειν ὁμοδέμνιον Ἡρώ.
ἡ δ᾽ ἄρα, καλλιθέμεθλον ὅπῃ κατὰ νηὸν ἀλᾶτο,
ἑσπόμενον νόον εἶχε καὶ ὄμματα καὶ φρένας ἀνδρῶν.
καί τις ἐν ἠιθέοισιν ἐθαύμασε καὶ φάτο μῦθον·
ʽκαὶ Σπάρτην ἐπέβην, Λακεδαίμονος ἔδρακον ἄστυ,
ἧχι μόθον καὶ ἄεθλον ἀκούομεν ἀγλαϊάων·
τοίην δ᾽ οὔ ποτ᾽ ὄπωπα νέην ἰδανήν θ᾽ ἁπαλήν τε·
ἦ τάχα Κύπρις ἔχει Χαρίτων μίαν ὁπλοτεράων.
παπταίνων ἐμόγησα, κόρον δ᾽ οὐχ εὗρον ὀπωπῆς.
αὐτίκα τεθναίην λεχέων ἐπιβήμενος Ἡροῦς.
οὐκ ἂν ἐγὼ κατ᾽ Ὄλυμπον ἐφιμείρω θεὸς εἶναι,
ἡμετέρην παράκοιτιν ἔχων ἐνὶ δώμασιν Ἡρώ.